# TEZAUR LITURGIC

## 10 OCTOMBRIE

HARALAMBOS BOUSIA

# SLUJBA
# SF.CUVIOS-MĂRTURISITOR
# TEOFIL
# DE LA
# TIBERIOPOLIS-MACEDONIA

ATENA,2010


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# 10 ΟΚΤΩΒΡΙΟΥ
# ΘΕΟΦΙΛΟΣ ΟΜΟΛΟΓΗΤΗΣ
# ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα Δρ.Χαραλάμπους Μπούσια**

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Μετά τον Προοιμιακόν, εις το Κύριε εκέκραξα, ιστώμεν στίχους δ, και ψάλλομεν τα εξής Προσόμοια. Ήχος α . Των ουρανίων ταγμάτων.

Των φιλεόρτων χορείαι δεύτε συνδράμωμεν, τη του γενναίου μνήμη, ασκητού Θεοφίλου, οσίως γαρ τον βίον ούτος εν γη, δαπανήσας αθλήσεως, κατηξιώθη το στάδιον διελθείν, και Χριστού κρατύναι όνομα.

Ομολογίας τον λύχνον τον παμφαέστατον, τον δαδουχούντα πάντας, ευψυχίας βολίσι, και Λέοντος Ισαύρου του μιαρού, βασιλέως σκοτόμαιναν, διασκεδάσαντα μέλψωμεν εν ωδαίς, υπερθαύμαστον Θεόφιλον.

Του Σελεντίου το όρος σοφέ ηγίασας, σκληραγωγίας άκρας, και φρονήσεως θείας, απλάστοις σου τοις τρόποις πανευκλεών, μονοτρόπων υπόδειγμα, και Εκκλησίαν κατηύφρανας ταις οσμαίς, των χαρίτων σου Θεόφιλε.

Τω Ζωοδότη συνείναι και Παντοκράτορι, ποθήσας παιδιόθεν, τον πατρώόν σου οίκον, κατέλιπες και πάσαν την χοϊκήν, θεοφόρε συνάφειαν, του Τιβερίου της Πόλεως ευσταλές, και θειότατον ανάστημα.

Δόξα. Ήχος πλ. α .

Τον εκ νεότητος προσκολληθέντα τω Κυρίω, και κληρονομήσαντα την γην των πραέων, Θεόφιλον τον Όσιον καταστέψωμεν άσμασιν. Ούτος γαρ καταλιπών πατέρα και μητέρα υπέρ του Κτίσαντος, οσφράδιον αρετών εδείχθη τω κόσμω, μυρίζον σύμπασαν την οικουμένην, αξίως δε αθλήσας προασπιζόμενος τας αγίας εικόνας, πολίτης των ουρανών γέγονεν ένδοξος, και πρεσβευτής ημών θερμότατος.

Και νυν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, και δοξάζομέν σε οι πιστοί κατά χρέος, την πόλιν την άσειστον, το τείχος, το άρρηκτον, την αρραγή προστασίαν, και καταφυγήν των ψυχών ημών.

Απόστιχα. Ήχος β . Οίκος του Εφραθά.

Χλαίνά σου της ψυχής, ην ακραιφνεί ασκήσει, ελεύκανας τοις όμβροις, των θείων σου αιμάτων, επέχρωσας Θεόφιλε.

Στ.: Τίμιος εναντίον Κυρίου ο θάνατος του Οσίου Αυτού.

Των Ομολογητών, Οσίων μυροβόλον, λευκάνθεμον εν πίστει, τιμήσωμεν οι δήμοι, των γηγενών Θεόφιλον.

Στ.: Μακάριος ανήρ, ο φοβούμενος τον Κύριον.

Χαίροις ο των σεπτών, προασπιστής εικόνων, και βίου εναρέτου, ο μαχητής Πατέρων, ακρώρεια Θεόφιλε.

Δόξα. Τριαδικόν.

Δόξα Σοι πανσθενές, Τριας υπεραγία, η δείξασα Οσίων, και Αθλοφόρων εύχος, τον έμψυχον Θεόφιλον.

Και νυν. Θεοτοκίον.

Μήτερ του Λυτρωτού, δυσώπει τον Υιόν Σου, ομού συν Θεοφίλω, ημάς κατοικτειρήσαι, και σώσαι ανακράζομεν.

Νυν απολύεις. Τρισάγιον.

Απολυτίκιον. Ήχος δ . Ταχύ προκατάλαβε.

Θεού φίλον γνήσιον τον ατραπόν την στενήν, οδεύσαι ποθήσαντα εξ ηλικίας μικράς, Θεόφιλον μέλψωμεν, ούτος γαρ τας εικόνας, τας αγίας στηρίζων, ήνεγκε στερροψύχως, ανυποίστους βασάνους, και πάντων πρεσβευτής προς Θεόν, ένθερμος γέγονε.

Δόξα. Και νυν. Θεοτοκίον.

Το απ' αιώνος απόκρυφον, και Αγγέλοις άγνωστον μυστήριον· δια σου Θεοτόκε τοις επί γης πεφανέρωται, Θεός εν ασυγχύτω ενώσει

σαρκούμενος, και Σταυρόν εκουσίως υπέρ ημών καταδεξάμενος, δι' ου αναστήσας τον πρωτόπλαστον, έσωσεν εκ θανάτου τας ψυχάς ημών.

Απόλυσις.

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Μετά τον Προοιμιακόν, το Μακάριος ανήρ. Εις δε το Κύριε εκέκραξα, ιστώμεν στίχους στ , και ψάλλομεν τα εξής Προσόμοια.

Ήχος δ . Ως γενναίον εν Μάρτυσι.

Ταπεινώσεως ίασμον, φιλεόρτων οι σύλλογοι, όρους Σελεντίου τερπνόν οσφράδιον, και Εκκλησίας καλλώπισμα, Θεόφιλον μέλψωμεν, επαξίως εν χορώ, αρετάς εκμιμούμενοι, γενναιότητα, και ισάγγελον όντως πολιτείαν, την αυτού δι’ ης εις ύψος, αρρήτου ήρθη λαμπρότητος.

Τη αγάπη πτερούμενος, του Χριστού εκ νεότητος, άπαντα του κόσμου τερπνά μεμίσηκας, και προς ασκήσεως σκάμματα, κατηύθυνας πόδας σου, τους Οσίους Ασκητά, θεοφόρε γενόμενος, τω Παντάνακτι, και Σωτήρι ευάρεστος δι’ άκρας, εγκρατείας όθεν ύμνοις, σε μελιχροίς καταστέφομεν.

Ωμολόγησας άριστα, την πανάμωμον πίστιν σου, και την των εικόνων σεπτήν προσκύνησιν, εν τη

Νικαία προ βήματος, ανόμου Θεόφιλε, όθεν πλήθος κολασμών, αλγηδόνας και βάσανα, καθυπέμεινας, ώσπερ πάσχοντος άλλου καρτερόφρον, και τριβώνιον σον μέλαν, ροαίς αιμάτων σου έβαψας.

Τις ασκήσεως πόνους σου, τους λαμπρούς διηγήσεται, ούσπερ δι' αγάπησιν του Κυρίου σου; περιχαρώς καθυπέμεινας, Θεόφιλε Όσιε, και κατέστησας σαυτόν, μονοτρόπων ωράϊσμα, εν τω πόθω σου, τω Δεσπότη Χριστώ ευαρεστήσαι, και Αυτού ακολουθήσαι, εν τω σω βίω τοις ίχνεσι.

Τον Σταυρόν εκ νεότητος, του Κυρίου αράμενος, κλέος μοναζόντων επωμαΐδιον, και του Στεφάνου του μάκαρος, υπείκων τοις ρήμασι, σχήμα το αγγελικόν, υπ' αυτού Πάτερ είληφας, ως εκσφράγισμα, των πολλών σου καμάτων και της όντως, εν τη μάνδρα πολιτείας, αγγελικής σου Θεόφιλε.

Των Οσίων ομόσκηνον, Αθλητών ισοστάσιον, και πνευματοφόρων ανδρών συνόμιλον, νυν συνελθόντες τιμήσωμεν, Θεόφιλον Όσιον, εφυμνίοις μελιχροίς, και εν βίω ζηλώσωμεν, κατορθώματα, τα αυτού και την πίστιν δι' ης θείας, ηξιώθη χαρμοσύνης, παρά Χριστού του Παντάνακτος.

Δόξα. Ήχος πλ. β .

Επέφανε σήμερον ως φωστήρ τηλαυγέστατος, η του Ομολογητού Θεοφίλου πανσέβαστος μνήμη, τας ψυχάς των ευσεβών καταυγάζουσα. Δεύτε ουν πάντες ασματικοίς εγκωμίοις, αυτόν καταστέψωμεν, ως Αθλητών και Οσίων περικαλλέστατον σεμνολόγημα, ανακράζοντες· μη ελλίπης πρεσβεύων τω Παντάνακτι Θεώ, ελεήσαι και σώσαι τους εκτελούντας εν πίστει, το ιερόν σου μνημόσυνον παναοίδιμε.

Και νυν. Θεοτοκίον.

Τις μη μακαρίσει σε, Παναγία Παρθένε; τις μη ανυμνήσει σου τον αλόχευτον τόκον; ο γαρ αχρόνως εκ Πατρός εκλάμψας Υιός μονογενής, ο αυτός εκ σου της Αγνής προήλθεν, αφράστως σαρκωθείς, φύσει Θεός υπάρχων, και φύσει γενόμενος άνθρωπος δι' ημάς, ουκ εις δυάδα προσώπων τεμνόμενος, αλλ' εν δυάδι φύσεων, ασυγχύτως γνωριζόμενος. Αυτόν ικέτευε, σεμνή Παμμακάριστε, ελεηθήναι τας ψυχάς ημών.

Είσοδος. Φως ιλαρόν. Προκείμενον της ημέρας. Και τα Αναγνώσματα.

Παροιμιών το Ανάγνωσμα (Κεφ. ιδ , 16-24)

Σοφός φοβηθείς εξέκλινεν από κακού, ο δε άφρων εαυτώ πεποιθώς μίγνυται ανόμω. Οξύθυμος πράσσει μετά αβουλίας, ανήρ δε

φρόνιμος πολλά υποφέρει. Μετριούνται άφρονες κακίαν, οι δε πανούργοι κρατήσουσιν αισθήσεως. Ολισθήσουσι κακοί έναντι αγαθών, και ασεβείς θεραπεύσουσι θύρας δικαίων. Φίλοι μισήσουσι φίλους πτωχούς, φίλοι δε πλουσίων πολλοί. Ο ατιμάζων πένητας αμαρτάνει, ελεών δε πτωχούς μακαριστός. Πλανώμενοι τεκταίνουσι κακά, έλεον και πίστιν τέκτονες κακών, ελεημοσύναι δε και πίστεις παρά τέκτοσιν αγαθοίς. Εν παντί μεριμνώντι ένεστι περισσόν, ο δε ηδύς και ανάλγητος εν ενδεία έσται. Στέφανος σοφών πλουτος αυτών, η δε διατριβή αφρόνων κακή.

Σοφίας Σολομώντος το Ανάγνωσμα. (γ΄ 1-9).

Δικαίων ψυχαί εν χειρί Θεού, και ου μη άψηται αυτών βάσανος. Έδοξαν εν οφθαλμοίς αφρόνων τεθνάναι, και ελογίσθη κάκωσις η έξοδος αυτών, και η αφ ̔ἡμῶν πορεία σύντριμμα· οι δε εισιν εν ειρήνη. Και γαρ εν όψει ανθρώπων εάν κολασθώσιν, η ελπίς αυτών αθανασίας πλήρης. Και ολίγα παιδευθέντες, μεγάλα ευεργετηθήσονται· ότι ο Θεός επείρασεν αυτούς, και εύρεν αυτούς αξίους εαυτού. Ως χρυσόν εν χωνευτηρίω εδοκίμασεν αυτούς, και ως ολοκάρπωμα θυσίας προσεδέξατο αυτούς. Και εν καιρώ επισκοπής αυτών αναλάμψουσι, και ως σπινθήρες εν καλάμη διαδραμούνται.

Κρινούσιν έθνη, και κρατήσουσι λαών, και βασιλεύσει αυτών Κύριος εις τους αιώνας. Οι πεποιθότες επ αὐτόν, συνήσουσιν αλήθειαν, και οι πιστοί εν αγάπη προσμενούσιν αυτώ· ότι χάρις και έλεος εν τοις οσίοις αυτού, και επισκοπή εν τοις εκλεκτοίς αυτού.

Σοφίας Σολομώντος το Ανάγνωσμα (Κεφ.Δ.7-15).
Δίκαιος εάν φθάση τελευτήσαι, εν αναπαύσει έσται. Γήρας γαρ τίμιον, ου το πολυχρόνιον, ουδέ αριθμώ ετών μεμέτρηται. Πολιά δε εστι φρόνησις ανθρώποις· και ηλικία γήρως, βίος ακηλίδωτος. Ευάρεστος Θεώ γενόμενος ηγαπήθη, και ζων μεταξύ αμαρτωλών μετετέθη. Ηρπάγη, μη κακία αλλάξη σύνεσιν αυτού, η δόλος απατήση ψυχήν αυτού. Βασκανία γαρ φαυλότητος αμαυροί τα καλά, και ρεμβασμός επιθυμίας μεταλλεύει νουν άκακον. Τελειωθείς εν ολίγω, επλήρωσε χρόνους μακρούς· αρεστή γαρ ην Κυρίω η ψυχή αυτού· δια τούτο έσπευσεν εκ μέσου πονηρίας. Οι δε λαοί ιδόντες, και μη νοήσαντες, μηδέ θέντες επί διανοία το τοιούτον, ότι χάρις και έλεος εν τοις οσίοις αυτού, και επισκοπή εν τοις εκλεκτοίς αυτού.

Εις την Λιτήν. Ήχος α .

Η μνήμη σου σήμερον ως δικαίου εγκωμιάζεται, καθάπερ ο σοφώτατος Σολομών φάσκει Όσιε Θεόφιλε, ακολουθήσας γαρ αρετής ταις τρίβοις παιδιόθεν, εις ύψος δυσαντίβλεπτον τελειότητος ήρθης Πάτερ θειότατε. Αυτού και ημάς αξίωσον απολαύσαι, τους τιμώντας εν ύμνοις την αεισέβαστον μνήμην σου, ακροθίνιον πίστεως.

Ήχος β .

Θαυμαστός εστιν αληθώς ο Θεός ημών εν τοις Αγίοις Αυτού, ομολογεί περιτράνως ο ψαλμωδός Δαβίδ και Προφητάναξ, εκ της ιεράς ταύτης ομηγύρεως και ο μάκαρ Θεόφιλος, δοξάσας ασκήσει και αθλήσει τον Κύριον, υφ’ ημών εις αιώνας θαυμάζεται. Δεύτε ουν αυτόν επαίνων τοις άνθεσι καταστέψωμεν, αιτούμενοι τας προς Θεόν αυτού πρεσβείας, προς σωτηρίαν των ψυχών ημών.

Ηχος γ .

Την τιμητικήν προσκύνησιν των αγίων εικόνων, ως ιεράν παρακαταθήκην κατέλιπες ημίν, δια του υπέρ αυτής εκχυθέντος, τιμίου σου αίματος Θεόφιλε. Ευγνωμονούσαί σε ουν παμμακάριστε Όσιε πιστών αι χορείαι, Χριστόν τον Θεόν δοξάζομεν, τον σε αξίως στεφανώσαντα.

Ήχος δ .

Μονοτρόπων αλείπτης γενόμενος εν Σελεντίω τω όρει, ταις διδαχαίς σου ίθυνας τους φοιτητάς

σου Θεόφιλε, προς την αγήρω μακαριότητα. Αυτής και ημάς αξίωσον θεόσοφε, τους ζηλωτάς της σης θεοφιλούς πολιτείας, και αγαλλομένη καρδία τελούντας, την ετήσιον μνήμην σου.

Δόξα. Ο αυτός.

Όσιε και Ομολογητά Πάτερ Θεόφιλε, του Παρακλήτου οφθείς καταγώγιον, δι' εναρέτου πολιτείας και αθλήσεως, τους εικονομάχους ως λύκους της Εκκλησίας απήλασας.
Στύλος γαρ εικόνων αδιάσειστος, και πρόμαχος ευσεβείας θεσπέσιε γενόμενος, την πίστιν ημών ετράνωσας, και τω αρχηγώ αυτής Χριστώ ευηρέστησας, μονοτρόπε πνευματέμφορε, όθεν Πατέρων συνέστιε, και διδασκάλων συνόμιλε, εν ταις επουρανίαις σκηνώσεσιν αυλιζόμενος, πρέσβευε Κυρίω ειρήνην ημίν αδιάπτωτον δωρήσασθαι, και σώσαι τας ψυχάς ημών.

Και νυν. Θεοτοκίον.

Εκ παντοίων κινδύνων τους δούλους Σου φύλαττε ευλογημένη Θεοτόκε, ίνα Σε δοξάζομεν την ελπίδα των ψυχών ημών.

Εις τον Στίχον. Ήχος πλ. α . Χαίροις ασκητικών.
Χαίροις, ο εν καιροίς χαλεποίς, εικονομάχου βασιλεύοντος Λέοντος, Ισαύρου εν τη Νικαία, συν τω Λογγίνω καλώς, καθομολογήσας, πίστιν άμωμον, ενώπιον βήματος, παρανόμων Θεόφιλε, και υπομείνας, πολυώδυνα βάσανα,

προμαχόμενος, των εικόνων πανόλβιε, όθεν αζύγων πρόβολε, και σέμνωμα πίστεως, μακαριότητος θείας, της εν τω πόλω τετύχηκας, ην πάντας τους πόθω, σε τιμώντας απολαύσαι, ημάς αξίωσον.

Στ.: Τίμιος εναντίον Κυρίου ο θάνατος του Οσίου Αυτού.

Χαίροις, ο παιδιόθεν Χριστώ, προσκολληθείς και την του οίκου ηδύτητα, εάσας συν τοις γονεύσι, περικαλλές ασκητά, Σελεντίου όρους, ενδιαίτημα, τα σα γαρ ωδήγησε, διαβήματα Κύριος, προς τον εκείσε, ησυχάζοντα Στέφανον, υφ’ ου Όσιε, σωτηρίου ασκήσεως, τρόπους και της βιώσεως, μονήρους Θεόφιλε, τας αρετάς εδιδάχθης, ίνα εις ύψος ουράνιον, αρθής και πρεσβεύης, υπέρ πάντων των εν ύμνοις, ανευφημούντων σε.

Στ.: Μακάριος ανήρ ο φοβούμενος τον Κύριον.

Δεύτε, φιλομαρτύρων χοροί, και φιλοσίων ευσεβόφρονες σύλλογοι, τιμήσωμεν γηθοσύνως, τον του Σωτήρος Χριστού, φίλον και οικέτην, πράον κράζοντες· Θεόφιλε πάνσοφε, μοναστών θείε πρόβολε, μη διαλίπης, ικετεύειν προς Κύριον, Ον ηγάπησας, εκ ψυχής πέμψαι άπασι, μάννα αλήκτου βρώσεως, υψόθεν τοις θέλουσι, σου τους αόκνους καμάτους, και τους αγώνας μιμήσασθαι, και ύμνοις ευήχοις, καταστέφειν σου την μνήμην, την πανακήρατον.

Δόξα. Ήχος πλ. δ .

Πνευματέμφορε Πάτερ Θεόφιλε, ο τον βίον εζηλωκώς των Αγίων Αγγέλων, ως δώρον σεαυτόν εκ νεότητος, Χριστώ προσενήνοχας, ισαγγέλως γαρ πολιτευθείς παναοίδιμε, και της πίστεως ομολογητής ένδοξος γενόμενος, σωτηρίας πολλών εδείχθης πρόξενος. Και νυν συν τοις Οσίοις και Μάρτυσι, τω των απάντων Βασιλεί και Θεώ παριστάμενος, πρέσβευε υπέρ των εκ πόθου τελούντων την μνήμην σου.

Και νυν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι τας δεήσεις των δούλων Σου, και λύτρωσαι ημάς, από πάσης ανάγκης και θλίψεως.

Νυν απολύεις. Τρισάγιον.

Απολυτίκιον. Ήχος δ . Ταχύ προκατάλαβε.

Θεού φίλον γνήσιον τον ατραπόν την στενήν, οδεύσαι ποθήσαντα εξ ηλικίας μικράς, Θεόφιλον μέλψωμεν, ούτος γαρ τας εικόνας, τας αγίας στηρίζων, ήνεγκε στερροψύχως, ανυποίστους βασάνους, και πάντων πρεσβευτής προς Θεόν, ένθερμος γέγονε.

Δόξα. Και νυν. Θεοτοκίον.

Το απ' αιώνος απόκρυφον, και Αγγέλοις άγνωστον μυστήριον· δια σου Θεοτόκε τοις επί γης πεφανέρωται, Θεός εν ασυγχύτω ενώσει σαρκούμενος, και Σταυρόν εκουσίως υπέρ ημών

καταδεξάμενος, δι' ου αναστήσας τον πρωτόπλαστον, έσωσεν εκ θανάτου τας ψυχάς ημών.

Απόλυσις.

**ΟΡΘΡΟΣ**

Μετά την α στιχολογίαν,

κάθισμα. Ήχος α . Τον τάφον Σου Σωτήρ.

Κοσμήτορ μοναστών, και λαμπάς Εκκλησίας, Θεόφιλε σεμνέ, επί γης βιοτεύσας, ως άϋλος Πνεύματος, του Αγίου γεγένησαι, σκεύος τίμιον, και ώσπερ πάσχοντος άλλου, δρόμον ήνυσας, θεοφιλώς μαρτυρίου, διο νυν τιμώμέν σε.

Δόξα. Και νυν. Θεοτοκίον.

Στερέωσον αγνή, τας ιγνύας νοός μου, και στήριξον σφυρά, των ποδών μου Παρθένε, πατείν του αλάστορος, τας παγίδας εκάστοτε, ίνα ύμνοις Σε, μελωδικοίς μεγαλύνω, ώσπερ έρεισμα, και ποδηγέτιν προς δόμους, της άνω λαμπρότητος.

Μετά την β στιχολογίαν,

κάθισμα. Ήχος δ . Ταχύ προκατάλαβε.

Γενναίως μαχόμενος υπέρ εικόνων σεπτών, σοις πόνοις ετίμησας το κατ’ εικόνα Θεού, Θεόφιλε Όσιε, έλαμψας εν τω κόσμω, ακραιφνεί πολιτεία, ήλασας των ανόμων, την σκοτόμαιναν

μάκαρ, διο και την Αγίων ημείς, μνήμην σου σέβομεν.

Δόξα. Και νυν. Θεοτοκίον.

Τον ζόφον εξάλειψον ημών πληθύος παθών, υπέρφωτε Δέσποινα ίνα οψώμεθα φως, Υιού Σου το άστεκτον, φως γαρ εν τη γαστρί Σου, δεξαμένη το θείον, ηύγασας τους εν σκότει, καθημένους Παρθένε, διόπερ ως πηγήν σε φωτός, θείου γεραίρομεν.

Μετά τον Πολυέλεον,

κάθισμα. Ήχος γ . Την ωραιότητα.

Φιλών τον Κύριον, γονείς κατέλιπες, και προς Σελέντιον, το όρος έδραμες, χωρήσαι δήμοις μοναστών, Θεόφιλε υψηγόρε, συ γαρ το σαρκίον σου, τω νοΐ καθυπέταξας, και καθωμολόγησας, την εικόνων προσκύνησιν, προ βήματος ανόμου γενναίως, όθεν κραυγάζομέν σοι· χαίρε.

Δόξα. Και νυν. Θεοτοκίον.

Την σκοτισθείσάν μου, ψυχήν καταύγασον, φωτί της χάριτος, του θείου Τόκου Σου, αγνή Παρθένε Μαριάμ, ελπίς των απηλπισμένων, και αχλύν απέλασον, των απείρων πταισμάτων μου, όπως εύρω έλεος, εν τη ώρα της κρίσεως, και πόθω ασιγήτως βοώ σοι· Χαίρε η Κεχαριτωμένη.

Οι Αναβαθμοί· το α ἀντίφωνον του δ ἤχου.

Προκείμενον: Τίμιος εναντίον Κυρίου, ο θάνατος του Οσίου Αυτού.
Στ.: Μακάριος ανήρ, ο φοβούμενος τον Κύριον.
Ευαγγέλιον Οσιακόν.
Δόξα: Ταις του Σου Οσίου...
Και νυν: Ταις της Θεοτόκου...
Ιδιόμελον. Ήχος πλ. β . Στ.: Ελεήμον, ελέησόν με ο Θεός...

Σήμερον ο φίλος του Θεού, και τοις πάσιν αιδέσιμος Θεόφιλος, ο ομολογητής και φιλάρετος, τον δρόμον του βίου καλώς διανύσας, τον τοις Οσίοις πρέποντα ύπνωσε θάνατον, ανελθών δε εις τας φωτεινάς μονάς τας ουρανίους. Και του φωτός του αΰλου απολαύων, εκτενώς πρεσβεύει Κυρίω, υπέρ φωτισμού των εσκοτισμένων, και σωτηρίας των ψυχών ημών.

Είτα, οι Κανόνες· της Θεοτόκου, και του Αγίου, ου η ακροστιχίς: Θεοφίλου αριστείας του ευψύχου μέλπω. Χ.

Ωδή α . Ήχος δ . Ανοίξω το στόμα μου.

Θεόφιλον Όσιον, τον εν σταδίω αλκίφρονα, τα χείλη υπάνοιξον, τα μυσαρά Λυτρωτά, και παμβέβηλα, σου δούλου όπως ψάλω, και άσω γηθόμενος, τούτου τας χάριτας.

Επέλαμψεν σήμερον, ημίν η θεία και πάμφωτος, Θεόφιλε πάνσοφε, της Εκκλησίας

φωστήρ, τηλαυγέστατε, ση μνήμη φρυκτωρούσα, τους πόθω προστρέχοντας, σκέπη τη θεία σου.

Οσίων ακρώρεια, Χριστόν σαφώς ωμολόγησας, προ βήματος Λέοντος, Ισαύρου του δυσσεβούς, και υπήνεγκας, παντοειδείς βασάνους, ως άϋλος άνθρωπος, μάκαρ Θεόφιλε.

Φωτίσας ο Κύριος, εκ βρεφικής ηλικίας σου, τα σα διαβήματα, κατηύθηνέ σε καλώς, προς Σελέντιον, το όρος ένθα φάρος, Θεόφιλε τίμιε, ώφθης ασκήσεως.

Θεοτοκίον.

Ιδείν τα αθέατα, των ουρανών κάλλη Δέσποινα, Σον δούλον αξίωσον, τον ευφημούντα λαμπρώς, τον Θεόφιλον, ως φίλον του Υιού Σου, αγνόν αειπάρθενε, Μήτερ και γνήσιον.

Ωδή γ . Τους Σους υμνολόγους.

Λαμπρύνεις Χριστού την Εκκλησίαν, πυρσεύμασι πόνων σου στερρών, και καρτεράς αθλήσεως, δι’ ης σεπτέ Θεόφιλε, εικόνων ώφθης άριστος, προασπιστής και υπέρμαχος.

Οσίων κρηπίς και μοναζόντων, φαιδρότης συντόνοις σου ευχαίς, σαυτόν σαφώς εκάθηρας, και τέμενος φωτόλαμπρον, Θεόφιλε θεότητος, της τριλαμπούς αναδέδειξαι.

Υμνείν χρη εκάστοτέ σε πάντας, τον κόσμου ηδέα και τερπνά, και πάσαν ηδυπάθειαν,

Θεόφιλε μισήσαντα, εκ βρέφους δε του Πλάσαντος, ακολουθήσαντα ίχνεσι.

Θεοτοκίον.

Αγνείας ναόν ηγιασμένον, θεόγραφον πλάκα Μαριάμ, και κλίνην πορφυρόστρωτον, γινώσκοντές Σε σπεύδομεν, χαρμονικώς βοήσαί Σοι· Χαίρε μητράναδρε Δέσποινα.

Κάθισμα. Ήχος πλ. α . Τον συνάναρχον Λόγον.

Η αγνεία σου μνήμη, ευφραίνει άπαντας, πνευματικώς και προς πόθεν, εγείρει σης βιοτής, και του τέλους σου, Θεόφιλε αοίδιμε, όθεν ικέτευε Χριστόν, αναδείξαι μιμητάς, σων πόνων τους ευφημούντας, ψαλμοίς ευήχοις σε Πάτερ, ως ακρέμονα μονοτρόπων αεί.

Δόξα. Και νυν. Θεοτοκίον.

Της ψυχής μου τα άλγη, ταχύ θεράπευσον, και τα του σώματος πάθη, ταις σαις αόκνοις λιταίς, καταπράϋνον, απείρανδρε Παντάνασσα, όπως ο τάλας δυνηθώ, ατενίσαι ουρανών, τα ύψη τα λαμπροφόρα, και τα δεσμά διασπάσω, τα συγκρατούντά με στερρώς επί γης.

Ωδή δ . Ο καθήμενος εν δόξη.

Ρητορείας του Ισαύρου, και αυτού φληναφήματα, ήσχυνας δυνάμει, θεία συν Λογγίνω τω μάκαρι, μεθ’ ου αγώνα διήνυσας αθλήσεως, τιμιώτατον, Χριστού οπλίτα Θεόφιλε.

Ικεσίαις σου παμμάκαρ, τον Χριστόν εκδυσώπησον, δούναι τοις τιμώσι, μνήμην σου την θείαν Θεόφιλε, πταισμάτων λύσιν ως Όσιος ευΐλατος, και συμμέτοχος, της ουρανίου φαιδρότητος.

Συμφραξάμενος τω όπλω, του Σταυρού εκ νεότητος, ανδρικώς γενναίε, αντετάξω μάκαρ Θεόφιλε, τω μισοθέω και φαύλω πολεμήτορι, και αμάραντον, εδέξω νίκης διάδημα.

Θεοτοκίον.

οις ανόμοις λογισμοίς μου, και απείροις μου πταίσμασι, φευ το της ψυχής μου, ένδυμα εσπίλωσα Πάναγνε, αλλά θαρρών Σοι κραυγάζω· αποκάθαρον, ταις πρεσβείαις Σου, αυτό και σώσον τον δούλόν Σου.

Ωδή ε . Εξέστη τα σύμπαντα.

Ευ δούλε τρισόλβιε, και αγαθέ του Κτίσαντος, πόθω σοι Θεόφιλε βοώμεν· ότι των νέων ηρνήσω τας παιδιάς, και Κτίστη καλώς προσκολληθείς, ίθυνας τα ίχνη σου, προς τον Όσιον Στέφανον.

Ικμάδα νεότητος, και ρώμην ηλικίας σου, δώρον προσενήνοχας Κυρίω, και μονοτρόπων την πολιτείαν φιλών, Θεόφιλε σχήμα μοναστών, παναξίως έλαβες, εις το όρος Σελέντιον.

Ασκήσει εκάλλυνας, Θεόφιλε τον βίον σου, εν τη ση μονή ην ευλογία, του Ζωοδότου οι σοι γονείς

ευλαβώς, ανήγειραν και ην ευπρεπές, αρετών και πάνσεπτον, καταγώγιον έδειξας.

Θεοτοκίον.

Συνέσεως μέλαθρον, και παρθενίας τέμενος, της εχθρού εξάρπασον κακίας, τον Σον οικέτην, και κάθαρόν με ταχύ, κηλίδων του βίου ρυπαρών, ίνα μεγαλύνω Σε, εις αιώνας Παντάνασσα.

Ωδη στ . Την θείαν ταύτην.

Τυράννου λύων την έπαρσιν, και πάσι την εικόνων προσκύνησιν, κηρύττων Όσιε, περιχαρώς καθυπέμεινας, δαρμούς εν τη Νικαία και κολαστήρια.

Οσμαίς πληροίς την υφήλιον, ανδρείας και αρίστης ασκήσεως, ως ρόδον εύοσμον, τον εκβλαστήσαν εν έτεσι, της εικονομαχίας σεπτέ Θεόφιλε.

Υμνούμεν θείοις μελίσμασι, σε τον υπακτικόν μεταπείσαντα, τον τυραννούντά σε, εν τω σταδίω Θεόφιλε, τας θείας προσκυνήσαι εικόνας πάραυτα.

Θεοτοκίον.

Εικόνων σέβας εκήρυξε, της πίστεως του Τόκου Σου πάναγνε, Θεογεννήτρια, ο αθλοφόρος Θεόφιλος, ο σε ψυχής εφέσει γεραίρων άσμενος.

Κοντάκιον. Ήχος πλ. δ . Τη Υπερμάχω.

Τον φερωνύμως εποφθέντα γνησιώτατον, Κυρίου φίλον τον σοφόν και αγγελόμορφον, τον ακτίσι καταυγάσαντα πάσαν κτίσιν, απαθείας και αθλήσεως τιμήσωμεν, ως εικόνων προσκυνήσεως υπέρμαχον, ανακράζοντες· Χαίροις μάκαρ Θεόφιλε.

Ο Οίκος.

Άγγελοι ουρανόθεν, κατεθαύμασον τρόπους, Θεόφιλε της σης πολιτείας, ενασκούμενος γαρ καρτερώς, και αθλών νομίμως διαυγές έσοπτρον, επώφθης γενναιότητος.

Διο σοι εκβοώμεν ταύτα·

Χαίρε, εικών της Θεού σοφίας·

χαίρε, λειμών ευανθής ανδρείας.

Χαίρε, Σελεντίου του όρους θησαύρισμα·

χαίρε, ασιγήτου ασκήσεως άγαλμα.

Χαίρε, Λέοντος ο φρύαγμα, του Ισαύρου καθελών·

χαίρε, δράκοντος γαυρίαμα, αρχεκάκου ο πατών.

Χαίρε, ότι εικόνας προσκυνείς τας αγίας·

χαίρε, ότι ανθώνας ωραΐζεις αγνείας.

Χαίρε, λαμπτήρ ενστάσεως πάμφωτος·

χαίρε, πρηστήρ του πλανου αλάστορος.

Χαίρε, λαμπάς αγωγής της μονήρους·

χαίρε, ψεκάς αληθώς θείου κάλλους.

Χαίροις μάκαρ Θεόφιλε.

Συναξάριον.

Τη Ι  του αυτού Μηνός, μνήμη του Οσίου Θεοφίλου του Ομολογητού.

Την κλήσιν έργοις Θεόφιλος δεικνύων,
Θεανδρικής ήθλησεν εικόνος χάριν.
Θεόν φιλών Θεόφιλε παιδιόθεν,
ασκητών ακρεμών και Μαρτύρων ώφθης.

Ωδή ζ . Ουκ ελάτρευσαν.

Ύπνον Όσιε, τοις οφθαλμοίς ουκ έδωκας, τοις σοις Θεόφιλε, ουδέ κροτάφοις τοις σοις, εν βίω ανάπαυσιν, αζύγων πρότυπον, αλλ’ εγρήγορσιν, ετήρεις αδιάλειπτον, ίνα μη αφρόνως σφάλλης.

Ψάλλων άσματα, Θεόφιλε τω Κτίσαντι, εγκρατευόμενος, και αρετών εραστής, υπάρχων διδάσκαλος, των προστρεχόντων σοι, αναδέδειξαι, ασκητικώς τελείωσιν, των ποθούντων εν τω βίω.

Υποχείριον, γενέσθαι του αλάστορος, ου θέλων Όσιε, εν αγρυπνία ευχή, και πόνοις διέπλευσας, του βίου πέλαγος, και εις εύδιον, λιμένα δόξης κρείττονος, προσωρμίσθης εν τω πόλω.

Θεοτοκίον.

Χαίρε πάναγνε, η τον Θεόν κυήσασα, τον λυτρωσάμενον, εκ της αρχαίας αράς, το γένος το

βρότειον, πιστώς κραυγάζομεν· αειπάρθενε, χαρά πιστών ασίγητε, και λυτήριον θανάτου.

Ωδή η . Παίδας ευαγείς.

Ότε ο δεινός εχθρός κατειδεν, ως βρύσιν χεόμενον το αίμά σου, δια την προσκύνησιν, των εικόνων έσπευσε, σε δείραι μόνος Όσιε, και το σον πρόσωπον, Θεόφιλε στερρέ αλλοιώσαι, ταις ουλαίς βασάνων, και των πληγών τω πλήθει.

Ύψωσον Θεόφιλε παμμάκαρ, τας χείράς σου προς Θεόν υπέρ των ύμνοις σε, γεραιρόντων Όσιε, και Αυτόν απέργασαι, ημίν ταις ασιγήτοις σου, πρεσβείαις ίλεων, πανήγυριν τοις πόθω τελούσι, σου της λαμπροφόρου, και πανσεβάστου μνήμης.

Μέγας ανεδείχθης εν Οσίοις, πυξίον ομολογίας θείας πίστεως, θαυμαστέ Θεόφιλε, τρόπαια περίδοξα, εν τοις σεπτοίς αγώσί σου, κατά του δράκοντος, και Λέοντος Ισαύρου ο στήσας, του εικονοκλάστου, του Παρακλήτου σθένει.

Θεοτοκίον.

Έγνωμεν πηγήν Σε του ελέους, και στάμνον χρυσήν Παρθένε φέρουσαν, άρτον τον ουράνιον, Ιησούν τον Κύριον, ευλογημένη Δέσποινα, Θεογεννήτρια, η τέξασα υπέρ πάντα νόμον, τον τροφέα κόσμου, και ποταμόν ελέους.

Ωδή θ . Άπας γηγενής.

Λάμπων τηλαυγώς, της κτίσεως πέρασιν, ακτίσι νήψεως, και ομολογίας σου, ταις λαμπηδόσι, λαόν εφώτισας, τον εν σκοτεία κείμενον, και μη δεχόμενον, τας αγίας, προσκυνήσαι όλβιε, και πανσέπτους εικόνας Θεόφιλε.

Πέμψον εφ' ημάς, υψόθεν Θεόφιλε, Χριστού το έλεος, ταις αδιαλείπτοις σου, πρεσβείαις Πάτερ, ο χάριν άφθονον, ευρών παρά του σώζοντος, ημάς παντάνακτος, συ γαρ νόμους, πίστεως ετήρησας, και τον δρόμον ανδρείως τετέλεκας.

Ως φωτός πηγή, τω όντι ακένωτος, ημών την ζόφωσιν, δίωξον Θεόφιλε, και προς σκηνώσεις, ταχύ λαμπρότητος, αρρητου ποδηγέτησον, τους μελωδούντάς σε, και τελούντας, μνήμην σου την πάμφωτον, και φωσφόρον ευήχοις εν άσμασι.

Θεοτοκίον.

Χάριν δαψιλώς, ην έχεις επόμβρισον, Θεοχαρίτωτε, εφ' ημάς κραυγάζομεν, τους εις αιώνας, Σε μεγαλύναντας, απείρου ευσπλαγχνίας Σου, ρανίδας πάναγνε, ως νεφέλη, πάντοτε δροσίζουσα, ομβροτόκος ψυχάς των προσφύγων Σου.

Εξαποστειλάριον. Γυναίκες ακουτίσθητε.

Θεόφιλον τον Όσιον, εικόνων τον υπέρμαχον, και αρετής τον λειμώνα, εγκωμιάσωμεν πάντες· ηδύνει γαρ τους θέλοντας, οσίως πολιτεύεσθαι,

και επί γης τελείωσιν, την εν Χριστώ εκζητούντας, όλη ψυχή και καρδία.

Θεοτοκίον.

Οικτίρησον τους δούλους Σου, Παρθένε κοσμοσώτειρα, τους καταφεύγοντας πίστει, τη παναγία Σου σκέπη, και εν ημέρα κρίσεως, εις τους χορούς κατάταξον, των σεσωσμένων Δέσποινα, ημάς αεί τους βοώντας· Χαίρε διάσωσμα κόσμου.

Αίνοι. Ήχος α . Πανεύφημοι Μάρτυρες.

Θεράπον Θεόφιλε Χριστού, αληθώς παμφίλτατε, ασκητικάς ἐκ νεότητος, οδούς διήνυσας, και του μισοκάλλου, και βεβήλου ένεδρα, και πάσας τας τριβόλους απέφυγες, εγκρατευόμενος, ασιγήτως προσευχόμενος, και νηστεύων, πατέρων ωράϊσμα.

Θεόφιλε θείε ασκητά, Σελεντίου σέμνωμα, του όρους και ρόδον εύοσμον, Χριστού της πίστεως, Εκκλησίαν πάσαν, ταις οσμαίς εμύρισας, ασκήσεως σεμνής και αρίστης σου, διο τιμώντές σε, κατά χρέος ευφραινόμεθα, οι ζηλούντες, τα σα κατορθώματα.

Θεόφιλε Όσιε στερρώς, βασιλέως Λέοντος, Ισαύρου μήνιν διέλυσας, ενστάσει θεία σου, και ποικιλοτρόπως, κολασθείς υπέρμαχος, εικόνων των Αγίων μακάριε, εδείχθης όθεν σου, τα

παθήματα γεραίροντες, ανυμνούμεν, τον σε δυναμώσαντα.

Θεόφιλε Πάτερ ευσταλές, την αγίαν μνήμην σου, τιμώντες πάντες κηρύττομεν, τα σα παλαίσματα, και ομολογίαν, την λαμπράν σου σέβοντες, βοώμεν· μη ελλίπης εκάστοτε, υπέρ των ύμνοις σε, ευφημούντων τον Παντάνακτα, ικετεύων, σοφέ ως δυνάμενος.

Δόξα. Ήχος πλ. α .

Του θεοφιλώς πολιτευσαμένου Θεοφίλου Οσίου, την ετήσιον μνήμην αξιοχρέως πανηγυρίζομεν, ευσεβών τα συστήματα. Ούτος γαρ ως απλανής αρετών αστήρ τηλαυγέστατος, καταυγάζει την υφήλιον ασκητικής καρτερίας, και ομολογίας πυρσεύμασι. Δεύτε ουν αυτού ζηλώσωμεν τους πόνους, και τας αστασιάστους αυτού πρεσβείας, εκζητήσωμεν προς Κύριον, τον μόνον αγαθόν και φιλάνθρωπον.

Και νυν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, και δοξάζομέν σε οι πιστοί κατά χρέος, την πόλιν την άσειστον, το τείχος, το άρρηκτον, την αρραγή προστασίαν, και καταφυγήν των ψυχών ημών.

Δοξολογία Μεγάλη και Απόλυσις.

# ΕΝ ΤΗ ΛΕΙΤΟΥΡΓΙΑ

Τα τυπικά, οι μακαρισμοί, και εκ του Κανόνος του Οσίου, η γ και στ΄ ᾠδὴ.
Απόστολος (Β Τιμ. Β , 1-10)
Ευαγγέλιον (Λουκ. Ιζ , 12-19)

Κοινωνικόν: Εις μνημόσυνον αιώνιον έσται δίκαιος. Αλληλούϊα.

Μεγαλυνάριον.

Χαίροις φίλε γνήσιε αρετής, ο τω Ζωοδότη, παιδιόθεν προσκολληθείς, και υπέρ εικόνων, Θεόφιλε των θείων, υπενεγκών γενναίως, πόνους ως άσαρκος.

